UNIVERSITÄTS-
BIBLIOTHEK
PADERBORN

# Universitätsbibliothek Paderborn

## Eusebiu Tu Pamphilu Ekklēsiastikē Istoria

**Eusebius <Caesariensis>**

**Mogvntiae, 1672**

LXX. Exhortatio ad concordiam.

**urn:nbn:de:hbz:466:1-14478**

Visual Library

ὁ ἄρειος, τοῦθ' ὅπερ ἢ μήτε τὴν ἀρχὴν ἐνθυμηθῆναι, ἢ ἐνθυμηθέντα σιωπῇ παραδοῦναι προσῆκον ἦν, ἀπροόπτως ἐντέθεικας. ὅθεν τῆς ἐν ὑμῖν διχονοίας ἐγερθείσης, ἡ μὲν σύνοδος ἠρνήθη. ὁ δὲ ἁγιώτατος λαὸς εἰς ἀμφοτέρους σχισθεὶς, ἐκ τῆς τοῦ κοινοῦ σώματος ἁρμονίας ἐχωρίσθη. οὐκοῦν ἑκάτερος ὑμῶν ἐξ ἴσου τὴν συγγνώμην παρασχὼν, ὅπερ ἂν ὑμῖν ὁ συνθεράπων ὑμῶν δικαίως παραινεῖ, δεξάσθω. τί δὲ τοῦτ' ἔστιν; οὔτε ἐρωτᾶν ὑπὲρ τῶν τοιούτων ἐξ ἀρχῆς προσῆκον ἦν, οὔτε ἐρωτώμενον ἀποκρίνεσθαι. τὰς γὰρ τοιαύτας ζητήσεις, ὁπόσας μὴ νόμου τινὸς ἀνάγκη προστάττει, ἀλλ' ἀνωφελοῦς ἀργίας ἐρεσχελία προστίθησιν, εἰ καὶ φυσικῆς τινος γυμνασίας ἕνεκα γίγνοιτο, ὅμως ὀφείλομεν εἴσω τῆς διανοίας ἐγκλείειν, καὶ μὴ προχείρως εἰς δημοσίας συνόδους ἐκφέρειν, μηδὲ ταῖς τῶν δήμων ἀκοαῖς ἀπρονοήτως πιστεύειν. πόσος γάρ ἐστιν ἕκαστος, ὡς πραγμάτων οὕτω μεγάλων καὶ λίαν δυσχερῶν δύναμιν, ἢ πρὸς τὸ ἀκριβὲς συνιδεῖν, ἢ κατ' ἀξίαν ἑρμηνεῦσαι; εἰ δὲ καὶ τοῦτό τις εὐχερῶς ποιεῖν νομισθείη, πόσον δή που μέρος τοῦ δήμου πείσει; ἢ τίς ταῖς τῶν τοιούτων ζητημάτων ἀκριβείαις, ἔξω τῆς ἐπικινδύνου παρολισθήσεως ἀντίσχοι; οὐκοῦν ἐφεκτέον ἐστὶν ἐν τοῖς τοιούτοις τὴν πολυλογίαν, ἵνα μήπως ἢ τῇ ἡμῶν ἀσθενείᾳ τῆς φύσεως τὸ προταθὲν ἑρμηνεῦσαι μὴ δυνηθέντων, ἢ τῇ τῶν ἀκροατῶν βραδυτέρᾳ συνέσει, πρὸς ἀκριβῆ τοῦ ῥηθέντος κατάληψιν ἐλθεῖν μὴ χωρησάντων, ἐξ ὁποτέρου τούτων, ἢ βλασφημίας, ἢ σχίσματος εἰς ἀνάγκην ὁ δῆμος περισταίη.

A cogitare, vel sanè cogitatum silentio premere debueras, imprudenter protulisses; excitatâ inter vos discordiâ, communio quidem denegata est; sanctissimus autem populus in duas partes discissus, à totius corporis unitate discessit. Quocircà uterque vestrûm veniam vicissim alteri tribuens, id amplectatur, quod conservus vester vobis justissimè suadet. Quidnam verò illud est? Nec interrogare de hujusmodi rebus principiò decebat, nec interrogatum respondere. Tales enim quæstiones, quas nullius legis necessitas præscribit, sed inutilis otii altercatio proponit; licet ingenii exercendi causâ instituantur, tamen B intra mentis nostræ penetralia continere debemus, nec eas facilè in publicos efferre conventus, nec auribus vulgi inconsultè committere. Quotus quisque enim est, qui tantarum rerum tamque difficilium vim atque naturam aut accuratè comprehendere, aut pro dignitate explicare sufficiat? Quòd si quis id facilè consequi posse existimetur, quotæ tandem parti vulgi id persuasurus est? Aut quis in ejusmodi quæstionum subtili & accurata disputatione, citra periculum gravissimi lapsus possit consistere? Quocirca in hujusmodi quæstionibus loquacitas comprimenda est; ne C forte aut nobis id quod propositum est explicare ob naturæ nostræ infirmitatem non sufficientibus; aut auditoribus, ob ingenii tarditatem ea quæ dicuntur minimè assequentibus; ex alterutro horum aut in blasphemiæ, aut in schismatis necessitatem populus incurrat.

## ΚΕΦΑΛΑΙΟΝ Ο'.

*Παραίνεσις περὶ ὁμονοίας.*

Διόπερ καὶ ἐρώτησις ἀπροφύλακτος, καὶ ἀπόκρισις ἀπρονόητος, ἴσην ἀλλήλαις ἀντιδότωσαν ἐφ' ἑκατέρῳ συγγνώμην. οὐδὲ γὰρ περὶ τοῦ κορυφαίου τῶν ἐν τῷ νόμῳ παραγγελμάτων ὑμῖν ἡ τῆς φιλονεικίας ἐξήφθη πρόφασις. οὐδὲ καινή τις ὑμῖν ὑπὲρ τῆς τοῦ Θεοῦ θρησκείας αἵρεσις ἀντεισήχθη· ἀλλ' ἕνα καὶ τὸν αὐτὸν ἔχετε λογισμόν. ὡς πρὸς τὸ τῆς κοινωνίας σύνθημα δύνασθαι συνελθεῖν.

## D Caput LXX.

*Exhortatio ad concordiam.*

Proinde & incauta interrogatio, & inconsulta responsio, in utroq; vestrûm veniam sibi mutuò concedant. Neque enim de præcipuo & summo legis nostræ mandato inter vos est orta contentio: neque novum aliquod à vobis de Dei cultu introductum est dogma. Sed unam eandemque sententiam tenetis; adeò ut ad communionis societatem coire facilè possitis.